# Titus

## Πρὸς Τίτον

1 Παῦλος δοῦλος θεοῦ,
ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ
3 κατὰ πίστιν ἐκλεκτῶν θεοῦ
3 καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ’ εὐσέβειαν
4 2 ἐπ’ ἐλπίδι ζωῆς αἰωνίου,
2 ἣν ἐπηγγείλατο ὁ Emb ἀψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων,
2 3 ἐφανέρωσεν δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι,
3 ὃ ἐπιστεύθην ἐγὼ κατ’ ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ,
4 Τίτῳ Emb γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν,
χάρις καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν.
5 Cata Τούτου χάριν Cata ἀπέλιπόν σε ἐν Κρήτῃ,
3 ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ
3 καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους,
5 ὡς Top ἐγώ σοι διεταξάμην,
4 6 εἴ Top τίς ἐστιν ἀνέγκλητος, Emb μιᾶς γυναικὸς Emb ἀνήρ,
5 τέκνα ἔχων Split πιστά,
5 μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα.
2 7 δεῖ γὰρ τὸν ἐπίσκοπον Emb ἀνέγκλητον εἶναι ὡς Emb θεοῦ οἰκονόμον,
4 μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον,
4 μὴ πλήκτην, μὴ αἰσχροκερδῆ,
4 8 ἀλλὰ φιλόξενον φιλάγαθον σώφρονα δίκαιον ὅσιον ἐγκρατῆ,
4 9 ἀντεχόμενον τοῦ Emb κατὰ τὴν διδαχὴν Emb Emb πιστοῦ λόγου,
5 ἵνα δυνατὸς ᾖ
6 καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ
6 καὶ Emb τοὺς ἀντιλέγοντας Emb ἐλέγχειν.
2 10 Εἰσὶν γὰρ πολλοὶ [καὶ] ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται,
4 μάλιστα οἱ ἐκ τῆς περιτομῆς,
2 11 οὓς δεῖ ἐπιστομίζειν,
2 οἵτινες ὅλους οἴκους ἀνατρέπουσιν
3 διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν.
2 12 εἶπέν τις ἐξ αὐτῶν App ἴδιος αὐτῶν προφήτης, App
Top Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.
13 Top+ ἡ μαρτυρία αὕτη Top+ ἐστὶν ἀληθής.
δι’ ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως,
3 ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει,
4 14 μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων
4 ἀποστρεφομένων τὴν ἀλήθειαν.
15 πάντα καθαρὰ τοῖς καθαροῖς·
Top τοῖς δὲ Top μεμιαμμένοις καὶ ἀπίστοις Top Constit οὐδὲν καθαρόν,
2 ἀλλὰ μεμίανται TopGen αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.
16 θεὸν ὁμολογοῦσιν εἰδέναι,
τοῖς δὲ ἔργοις ἀρνοῦνται,
3 βδελυκτοὶ ὄντες Split καὶ ἀπειθεῖς Split
4 καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.
2 Top Σὺ δὲ λάλει ἃ πρέπει τῇ Emb ὑγιαινούσῃ διδασκαλίᾳ.
2 Top πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας,
3 ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ·
3 Top πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς,
3 μὴ διαβόλους μὴ Emb οἴνῳ πολλῷ Emb δεδουλωμένας,
3 καλοδιδασκάλους,

4 **4** ἵνα σωφρονίζωσιν τὰς νέας
5 Emb φιλάνδρους εἶναι,
6 φιλοτέκνους
6 **5** σώφρονας ἁγνὰς οἰκουργοὺς ἀγαθάς,
6 ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν,
7 ἵνα μὴ Top ὁ λόγος τοῦ θεοῦ Top βλασφημῆται.
**6** Top τοὺς νεωτέρους Top ὡσαύτως παρακάλει σωφρονεῖν **7** περὶ πάντα,
3 Top σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων,
3 Sit ἐν τῇ διδασκαλίᾳ Sit ἀφθορίαν, σεμνότητα,
4 **8** λόγον ὑγιῆ ἀκατάγνωστον,
5 ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ
6 μηδὲν ἔχων λέγειν περὶ ἡμῶν Split φαῦλον.
**9** Top δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν,
3 εὐαρέστους εἶναι,
4 μὴ ἀντιλέγοντας, **10** μὴ νοσφιζομένους,
4 ἀλλὰ πᾶσαν πίστιν ἐνδεικνυμένους Split ἀγαθήν,
5 ἵνα τὴν διδασκαλίαν τὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ
6 κοσμῶσιν ἐν πᾶσιν.
2 **11** Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ θεοῦ σωτήριος πᾶσιν ἀνθρώποις
3 **12** παιδεύουσα ἡμᾶς,
4 ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς Emb κοσμικὰς ἐπιθυμίας
5 σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι,
6 **13** προσδεχόμενοι τὴν Emb μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν
7 τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,
2 **14** ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν,
3 ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας
3 καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον,
4 ζηλωτὴν καλῶν ἔργων.
**15** Top+ Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς·
Constit μηδείς σου Emb περιφρονείτω.
2 **3** Ὑπομίμνῃσκε αὐτοὺς
3 ἀρχαῖς ἐξουσίαις ὑποτάσσεσθαι,
3 πειθαρχεῖν,
3 Emb πρὸς πᾶν ἔργον ἀγαθὸν Emb ἑτοίμους εἶναι,
3 **2** Constit μηδένα βλασφημεῖν,
3 ἀμάχους εἶναι, ἐπιεικεῖς,
4 πᾶσαν ἐνδεικνυμένους Split πραΰτητα πρὸς πάντας ἀνθρώπους.
2 **3** Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς,
3 πλανώμενοι,
3 δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις,
3 ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες,
3 στυγητοί, μισοῦντες ἀλλήλους.
**4** Sit ὅτε δὲ Emb Sit ἡ χρηστότης καὶ ἡ φιλανθρωπία Emb ἐπεφάνη
3 Emb Split τοῦ σωτῆρος ἡμῶν θεοῦ, Emb Sit Split
**5** οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς
ἀλλὰ κατὰ τὸ Emb αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς
3 διὰ λουτροῦ παλιγγενεσίας
3 καὶ ἀνακαινώσεως πνεύματος ἁγίου,
2 **6** οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν,
3 **7** ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι
4 Emb κληρονόμοι γενηθῶμεν κατ᾽ ἐλπίδα ζωῆς αἰωνίου.
**8** Πιστὸς ὁ λόγος·
καὶ Sit Th+ περὶ τούτων Sit Th+ βούλομαί σε
3 διαβεβαιοῦσθαι,

4 ἵνα φροντίζωσιν
5 Emb καλῶν ἔργων Emb προΐστασθαι Th+ οἱ πεπιστευκότες θεῷ· Th+
Top+ ταῦτά ἐστιν καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις.
9 μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο·
2 εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι.
10 Top αἱρετικὸν ἄνθρωπον Top * μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, *
3 11 εἰδὼς
4 ὅτι ἐξέστραπται Th+ ὁ τοιοῦτος Th+
4 καὶ ἁμαρτάνει
5 ὢν αὐτοκατάκριτος.
12 Sit Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ Split ἢ Τύχικον, Sit Split
2 σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν,
Sit ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι.
13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλῶν σπουδαίως πρόπεμψον,
3 ἵνα Constit μηδὲν αὐτοῖς λείπῃ.
2 14 μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι
3 καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας,
4 ἵνα μὴ ὦσιν ἄκαρποι.
2 15 Ἀσπάζονταί σε οἱ μετ’ ἐμοῦ Emb πάντες.
2 Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει.
Top ἡ χάρις Top μετὰ πάντων ὑμῶν.